φιλόσοφοι δύο, διὰ τί ὁ μὲν τῶν ῥητόρων ἀριθμὸς ἀδιαίρετος, ὁ δὲ τῶν φιλοσόφων διαιρετός. φαμὲν ὅτι οὐκ ἀληθὲς τοῦτο· ὁ γὰρ Σωκράτης μονάδα μιμεῖται πρὸς τὸ ἓν ὁρῶν· ἁπλοῦς γὰρ ὁ θεὸς ἐξ οὐδενὸς παραγόμενος· ὅθεν καὶ ὕμνος λέγεται εἰς αὐτὸν φάσκων

ἐξ οὗ πάντα πέφηνε, σὺ δὲ οὐδενὸς οὕνεκα μοῦνος.

καὶ ὁ Χαιρεφῶν δὲ μονάδα μιμεῖται ἀλλ' οὗτος μὲν ἔνυλον καὶ ἀχώριστον ὕλης, ἐκεῖνος δὲ χωριστόν. καὶ ἐπειδὴ ἀμέσως τὰ χείρονα πρὸς τὰ κρείττονα οὐ χωρεῖ ἢ τὰ κρείττονα πρὸς τὰ χείρονα, διὰ τοῦτό ἐστιν ὁ Χαιρεφῶν μέσην τάξιν ἔχων καὶ ὀφείλων διαπορθμεύειν τὰ παρ' αὐτῶν.

9 ὑπόλοιπον ζητῆσαι πῶς μέμνηται Γοργίου· λέγομεν τοίνυν ὅτι πρῶτον μὲν οὐδὲν ἄτοπον τὸν γράφοντα ἱστορεῖν καὶ ἀγνώστους ἀνθρώπους καὶ ποιεῖν αὐτοὺς διαλεγομένους· δεύτερον δὲ ἐροῦμεν, ὅτι ἐπὶ τῶν αὐτῶν χρόνων ἦσαν, ὁ μὲν γὰρ Σωκράτης ἐπὶ τῆς ος̄ ὀλυμπιάδος τῷ γ̄ ἔτει, ὁ δὲ Ἐμπεδοκλῆς ὁ Πυθαγόριος, ὁ διδάσκαλος Γοργίου, ἐφοίτησεν παρ' αὐτῷ· ἀμέλει καὶ γράφει ὁ Γοργίας περὶ φύσεως σύγγραμμα οὐκ ἄκομψον τῇ πδ̄ ὀλυμπιάδι, ὥστε κη̄ ἔτεσιν ἢ ὀλίγῳ πλείοσιν εἶναι πρῶτον τὸν Σωκράτην. ἄλλως τε φησὶν ἐν τῷ Θεαιτήτῳ ὁ Πλάτων, ὅτι νέος ὢν κομιδῇ ἐνέτυχον Παρμενίδῃ ὄντι πάνυ πρεσβύτῃ καὶ εὗρον βαθύτατον ἄνδρα· οὗτος δὲ ὁ Παρμενίδης διδάσκαλος ἐγίνετο Ἐμπεδοκλέους τοῦ διδασκάλου Γοργίου καὶ ὁ Γοργίας δὲ πρεσβύτης ἦν, ὡς γὰρ ἱστόρηται τέθνηκεν ὢν ρθ̄ ἐτῶν· ὥστε περὶ τοὺς αὐτοὺς χρόνους ἦσαν. ταῦτα ἔχει ἡ θεωρία.

---

**6** Orphica ed. Kern fr. 315 **10** cf. Plat. Conv. 202 e **15** Jacoby: Apollodors Chronik p. 262. Diels: Fr. d. V. p. 552 **20** Plat. Theaet. 183 e

---

| | | | |
|---|---|---|---|
| **3** mg. λύσις | mg. κρείττονα | Σωκράτης | μονὰς αὖλος |
| | μέσον | Χαιρεφῶν | μονὰς ἔνυλος |
| | χείρονα | οἱ λοιποὶ τρεῖς | πλῆθος ὑλικόν |

**12** mg. ε′ **15** mg. ὅτι οἱ ἐν τῷ διαλόγῳ ὁμόχρονοι **23** mg. Παρμενίδης, Ἐμπεδοκλῆς, Γοργίας, Σωκράτης